www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν ὅσιον Ἀκάκιον τὸν ἐν τῇ Κλίμακι

Ἦχος πλ.δ΄.

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἕτερος εἰς τὸν ὅσιον Ἀκάκιον τὸν ἐν τῇ Κλίμακι, οὗ ἡ ἀκροστιχίς, «Ἀκάκιον ὕμνοις τὸν πάνυ μέλπω». Ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ». Ἦχος πλ.δʹ.

*ᾨδὴ Αʹ Ἁρματηλάτην Φαραώ.*

Ἀσκητικῶν ἀγωνισμάτων χάριν μοι, ἐφιεμένῳ νυνί, ἀνυμνολογῆσαι, φιλευσπλάγχνως δώρησαι, Θεὲ Πατέρων Κύριε, Ἀκακίου τοῦ πάνυ, τοῦ ἐν τῇ Βίβλῳ τῆς Κλίμακος, στηλογραφομένου σαφέστατα.

Καταφρονήσας τῶν ῥεόντων Ὅσιε, διὰ τὴν πάντων ζωήν, μετὰ πότμον ὤφθης, ζῶν τῷ πυθομένῳ σοι, τρανῶς ἀποφηνάμενος, ὡς οὐ θνήσκουσιν ὅλως, οἱ ἐνταυθοῖ βιωτεύοντες, ἐν τοῖς τοῦ Κυρίου προσφθέγμασι.

Ἀγγέλων βίον ἐμιμήσω πάνσοφε, τὸ νοερὸν τῆς ψυχῆς, τεταμένον πάντη, ἔχων διετέλεσας, τοῖς ἄνω καὶ κατέλαβες, τὰ σκηνώματα Πάτερ, τὰ ποθητὰ παναοίδιμε, ἃ Χριστὸς σαφῶς ἐπηγγείλατο.

*Θεοτοκίον.*

Ἱλαρωτάτης ἐκ ψυχῆς Πανάχραντε, καθώσπερ τι πενιχρόν, λόγους ἐφυμνίων δεχομένη δώρησαι, τοῖς δούλοις σου τὸν δίαυλον, εἰρηναίως τελέσαι, τῆς βιοτῆς καὶ τῆς ἄνωθεν, μοίρας διὰ σοῦ ἐπιτεύξασθαι.

*ᾨδὴ Γʹ Ὁ στερεώσας κατʹ ἀρχάς.*

Κατηκολούθησας Χριστῷ, καὶ τούτου βαίνων ὡράθης, ἀληθῶς ἐπὶ τοῖς ἴχνεσι Πάτερ, ἀνενδότῳ λογισμῷ, καρτερικῶς ὑπέμεινας, τοῦ σώματος θεόφρον, τὰς ἀλγηδόνας Ἀκάκιε.

Ἰσχυροτάτῳ λογισμῷ, καθωπλισμένος τρισμάκαρ, ἐπιστάτου σου κακώσεις γενναίως, ὀφθαλμῶν τοὺς αἰκισμούς, καὶ τοῦ τραχήλου ἔφερες, τοῖς ἐσομένοις Πάτερ ὀφθεὶς ὑπόδειγμα τέλειον.

Ὁ σὺν Ὁσίων τοῖς χοροῖς, παρεστηκὼς θεοφόρε, τῆς ἀκτίστου τῆς Θεότητος θρόνῳ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, ἱλεωθῆναι εὔχου, τοὺς σὲ ὑμνοῦντας Ἀκάκιε.

*Θεοτοκίον.*

Λελαμπρυσμένη ἀρετῶν, ταῖς φωταυγείαις Παρθένε, τὸν Υἱόν σου καὶ Θεὸν ἐκδυσώπει, σὺν Μαρτύρων τοῖς χοροῖς, καὶ τῶν Ὁσίων τάγμασι, πταισμάτων ἡμᾶς λύσιν, εὑρεῖν ἐν ὥρᾳ τῆς κρίσεως.

*ᾨδὴ Δ΄ Σύ μου ἰσχύς.*

Νόμον Θεοῦ, ἐμμελετῶν διετέλεσας, ἐν ἡμέρᾳ καὶ νυκτὶ πανόλβιε, καθώσπερ ξύλον πεφυτευθείς, ἐφ' ὑδάτων Πάτερ, τῇ εὐκαρπίᾳ κεκόσμησαι, καὶ νῦν ταῖς οὐρανίαις, συναυλίζων χορείαις, ὑπερεύχου τῶν πόθῳ τιμώντων σε.

Ὑπακοῆς, ὤφθης κανὼν ἀκριβέστατος, τὸν Δεσπότην, ὅσιε μιμούμενος, ἐξ οὗ καὶ χάριτος δαψιλοῦς, ἐν τῇ σῇ καρδίᾳ, ἐδέχου θεῖε Ἀκάκιε, καὶ ἔκραζες ἀπαύστως, τῷ Σωτῆρί σου πόθῳ, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μαρτυρικὴν, ἔνστασιν ἔδειξας πάνσοφε, διὰ βίου ἀπηνῶς τυπτόμενος, βασάνοις πλείστοις προσομιλῶν, ὡς στερρὸς ἀδάμας, ὅσιε πάτερ Ἀκάκιε, βοῶν τῷ παντεπόπτῃ, ὑπομένοντα πρόσχες, ἐσαεὶ τῷ Κυρίῳ ὑπέμεινα.

*Θεοτοκίον.*

Ἀπαλλαγήν, σὲ Παναγία γινώσκομεν, ἐν ταῖς νόσοις, καὶ παντοίαις θλίψεσι, καὶ πειρασμῶν ταῖς ἐπιφοραῖς, ὡς Θεὸν τεκοῦσαν, ἀνερμηνεύτως Πανύμνητε, καὶ νῦν τοὺς τῷ ναῷ σου προσεδρεύοντας δίδου, συμφερόντως Ἁγνὴ τὰ σωτήρια.

*Ὠδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Νουνεχῶς ἐν τοῖς πόνοις, σεαυτὸν παρέδωκας Πάτερ σθενούμενος, πρὸς ἀνδρὸς ἁγίου, τοῖς μὲν ὄπισθεν ἐπιδεικνύμενος, ἀεὶ ἐπιλήσμων, τοῖς ἔμπροσθεν δὲ θεοφόρε, ἐπιβαίνων τοῦ τέλους τετύχηκας.

Ὁλοψύχως ἁπάσης, προσπαθείας Ὅσιε σαὐτὸν ἐμάκρυνας, τῶν προσκαίρων πάντων, πρὸς τὰ ἄνω χωρήσας Ἀκάκιε, τῶν ἐχθρῶν τὰς τάξεις, συναρωγῇ τῇ τοῦ Σωτῆρος, ἐκποδὼν θεοφόρε ἐποίησας.

Ἰλλαινόντων προθέσει, τῆς ψυχῆς τὰ ὄμματα ἡμῶν οὐ σθένομεν, τρίβον τῶν Πατέρων, διοδεῦσαι ὡς ἄρτι ἐκλήθημεν, ταῖς σαῖς ἱκεσίαις, Ἀκάκιε τῶν σωτηρίων, τοῦ Κυρίου ὁδῶν ἐπιτύχοιμεν.

*Θεοτοκίον.*

Ῥόδον ὤφθης Παρθένε, ἀκανθῶν ἐν μέσῳ, τῶν βροτῶν τῆς φύσεως, εὐωδίαν κόσμῳ, οὐρανόθεν Ἁγνὴ ἐπιστάξασα, τὴν ζωοποιοῦσαν, τοὺς φθόνῳ πάλαι νεκρωθέντας, ἐν Ἐδὲμ συμβουλίᾳ τοῦ ὄφεως.

*ᾨδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Συνέσει πνευματικῇ, τὰς παρατάξεις κατέβαλες, τοῦ δολομήτου σατάν, θεόφρον Ἀκάκιε, καὶ ἀσκήσει ἔλαμψας, καταυγάζων Πάτερ, τοὺς ἐν πόθῳ εὐφημοῦντάς σε.

Τυπτόμενος ἀλγεινῶς, ἀνεξικάκως φερώνυμε, ὑπέμενες καὶ δεινῶν, παντοίων κακώσεσι, μάκαρ κολαζόμενος, ἐν Κυρίῳ χαίρων, καρτερόψυχε ὑπέφερες.

Ὁσίων ἐν οὐρανοῖς, σὺν τοῖς χοροῖς αὐλιζόμενος, ὑμνῶν Πατέρα Υἱόν, καὶ Πνεῦμα τὸ Ἅγιον, Θεότητα ἄναρχον, παντοκρατορίαν, παναοίδιμε Ἀκάκιε.

*Θεοτοκίον.*

Ἱλάσθητί μοι Ἁγνή, τῷ ἀδεῶς δαπανήσαντι, τὸν βίον ὅλον κακοῖς, καὶ ταῦτα τῷ Ὄρει σου, τῷ Ἁγίῳ Δέσποινα, καὶ πρὸς μετανοίας, τὴν ὁδόν με χειραγώγησον.

*ᾨδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Νεκρώσας τὸ φρόνημα, σαρκὸς Ἀκάκιε ἐν ἀσκήσει σοφέ, καὶ ὡς ἄγγελος ὤφθης, ἐν μέσῳ Πάτερ τῶν μονοτρόπων χοροῖς, τῷ σῷ Δεσπότῃ ἀπαύστως ὑπέψαλλες, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Πατέρων ἀγλάϊσμα, ὁσίων δέδειξαι καὶ τῆς ὑπακοῆς, παναρίστη ὡς στάθμη, ὅσιε Πάτερ τῷ ἐλαφρῷ τοῦ Χριστοῦ, ζυγῷ ἰθύνων εὐχαῖς σου μακάριε, τοὺς τὴν σὴν μνήμην πιστῶς, τελοῦντας μέμνησο.

Ἀκάκως πανόλβιε, πολυειδέσι κολαστηρίοις ἑκών, καθυπήχθης τοῖς ἄνω, ἐνατενίζων ἀνεπιστρόφως σοφέ, μέλπων τῷ Πλάστῃ Χριστῷ Ἀκάκιε, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ὠσθέντας Πανάχραντε, δι᾽ ἁμαρτίαν κακοδοξίας κρημνοῖς, τοῦ πεσεῖν μὴ παρίδῃς, ἀλλ᾽ ἐμπαγῆναι τῇ κραταιᾷ σου χειρί, Ὀρθοδοξίας τῇ πέτρᾳ τοὺς σοὶ κραυγάζοντας, εὐλογημένη Ἁγνή, Θεὸν ἡ τέξασα.

*ᾨδὴ Η´ Ἑπταπλασίως κάμινον.*

Νεανικῶς ἠρίστευσας, θεοφόρε Ἀκάκιε, στίφη τῶν δαιμόνων, ταῖς βολαῖς τῶν πόνων σου, ἀνέτρεψας ὅσιε, θείων στεφάνων μετειληφώς, ἐσαεὶ συνών, σὺν Ἀρχαγγέλων χορείαις, μεθ᾽ ὧν μὴ διαλείπῃς, τῷ Σωτῆρι πρεσβεύειν, μελλόντων ἡμᾶς Πάτερ, κολάσεων ῥυσθῆναι.

Ὑπογραμμῶς γεγένησαι, καὶ κανὼν ἀκριβέστατος, ὑποτασσομένοις, καὶ τοῖς ἄνω κάλλεσι, ἐρῶσιν Ἀκάκιε, καὶ ἐν γηΐνοις ἀγγελικῶς, σκήνεσι βιοῦν καὶ ἐνοπτρίζεσθαι πόθῳ, τὸν Κύριον τῆς δόξης, ὃν ὑμνοῦσιν ἀπαύστως, Ἀγγέλων αἱ δυνάμεις, εἰς πάντας τοὺς αἰῶνας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μετὰ σαρκὸς ἐβίωσας, ὥσπερ ἄγγελος ὅσιε, πρᾶξιν θεωρίας ἐσχηκὼς ἐπίβασιν, καὶ λήξεως ἔτυχες, τῆς ἀθανάτου ἐν οὐρανοῖς, τῷ Παμβασιλεῖ, σὺν τοῖς χοροῖς τῶν Πατέρων, ὑμνῶν Θεὸν Πατέρα, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τὸ Ἅγιον ἀπαύστως, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νοεῖν ἡ φύσις Δέσποινα, τῶν βροτῶν οὐ δεδύνηται, οὐδὲ τῶν Ἀγγέλων, τοῦ ἀσπόρου τόκου σου, τὸ μέγα μυστήριον, Θεὸν γὰρ ἐν τῇ μήτρᾳ σου, ἀρχαγγελικῶν, ἐνωτισθεῖσα ῥημάτων, συνέλαβες Παρθένε, καὶ ἔτεκες ἀφθόρως, τῆς παρθενίας Κόρη, ποσῶς μὴ λυμανθείσης.

*Ὠδὴ Θ′ Ἐξέστη ἐπὶ τούτῳ.*

Εἰς ὄρη τὰ αἰώνια ἐπιβάς, θεωρίας Πατὴρ ἡμῶν ὅσιε, φωταυγειῶν, θείων ἠξιώθης παρὰ Χριστοῦ, καὶ μεταστὰς Ἀκάκιε, εἰς τὰ τοῦ Κυρίου ἀγαπητά, σκηνώματα αὐλίζῃ, ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν μετὰ πόθου γεραιρόντων σε.

Λαμπτῆρα ἐγνωκότες σε παμφαῆ, μοναζόντων Ἀκάκιε μέλπομεν, σοι τὴν ᾠδήν, ἐν ἀγαλλιάσει δαβιτικῶς, ὡς τίμιος ὁ θάνατος, τῶν ὁσίων ἔναντι τοῦ Θεοῦ, καὶ γὰρ τῇ Ἐκκλησίᾳ, τὴν αἴνεσιν Κυρίου, τῇ τῶν ὁσίων ἀναμέλψωμεν.

Πανήγυριν τὴν θείαν τῶν τῶν μοναστῶν, αἱ χορεῖαι τελέσωμεν σήμερον, τοῦ ἀσκητοῦ, τῶν θεοκηρύκων ἐν τῷ ναῷ, τῶν Ἀποστόλων ᾄδοντες, ὕμνους ἐγκωμίων χαρμονικῶς, τοῦ θείου Ἀκακίου οὗ μιμητὰς γενέσθαι, αὐτοῦ ἀξίως αἰτησώμεθα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὠδὴν ἐξαπτερύγων τῶν Σεραφίμ, τὴν τρισάγιον φόβῳ προσάδοντες, τοῖς χοϊκοῖς, χείλεσι τὸ ἅγιος ὁ Πατήρ, ὁ γεννηθεὶς ἐπέκεινα, τῶν αἰώνων ἅγιος ὁ Υἱός, καὶ τὸ Ἅγιον Πνεῦμα τὸ συμφυὲς ἀχρόνως, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον.

*Θεοτοκίον.*

Μακάριος ὑπάρχει ὡς ἀληθῶς, ὁ λαὸς ὁ ἀεὶ μακαρίζων σε, Μῆτερ Θεοῦ, καὶ ἡμεῖς οἱ δοῦλοι σου ἐνταυθοῖ, τῷ Ὄρει τῷ Ἁγίῳ σου, μακαρίζοντές σε πίστει θερμῇ, μακάριοι Παρθένε, οἱ διὰ σοῦ τὴν λύσιν, πταισμάτων τεύξασθαι ἐλπίζοντες.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*

Ὅσιε Πάτερ Ἀκάκιε, πρὸς τῶν γηΐνων ἐκστάς, τῶν ἀφθάρτων ἐπόθησας, τὸν σταυρὸν ἀράμενος, τῷ Χριστῷ ἠκολούθησας, τῇ ἐγκρατείᾳ τρυφῶν ἀοίδιμε, καὶ ἀγρυπνίαις σχολάζων ἔφθασας, πρὸς τὴν ἀκρώρειαν ἀπαθείας πάνσοφε, διὸ Χριστῷ, ὑπὲρ τῶν ὑμνούντων σε, ἀπαύστως πρέσβευε.

Στήλη καρτερίας ἔμψυχος, ἐν πειρασμοῖς ἀληθῶς, ὤφθης Πάτερ μιμούμενος, τὸν Σωτῆρα ὅσιε, διὰ βίου τυπτόμενος, πληγῶν τὰ ἄλγη χαίρων ὑπέμενες, διὰ τὴν πάντων ζωὴν πανόλβιε, καὶ μετὰ θάνατον, προσεφθέγξω ἅγιε, καθάπερ ζῶν, ὢ ξένου ἀκούσματος τῆς ἀρετῆς ἀληθῶς.

Σύσκηνος ὑπάρχων Ὅσιε, τῶν ἐκλεκτῶν ἐν μοναῖς, τῶν ἁγίων Ἀκάκιε, τῶν ὑμνολογούντων σε, τὰς αἰτήσεις προσάγαγε, τῷ σῷ Δεσπότῃ ὃν καθικέτευε, πρὸ τῆς ἐξόδου ἡμῖν δωρήσασθαι, ἔργων ἀπάρξασθαι, μετανοίας χώρας τε ἐπιτυχεῖν, ἔνθα ἦχος ἤκουσται, ἑορταζόντων ἀεί.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κανὼν εἰς τὸν ὅσιον Ἀκάκιον τὸν ἐν τῇ Κλίμακι, Ἦχος πλ.δ΄.*

Θείων Ἀποστόλων σύνταγμα, τῶν Προφητῶν οἱ χοροί, τῶν Μαρτύρων στρατεύματα, Διδασκάλων σύλλογοι, τῶν Ὁσίων τὰ τάγματα, καὶ τῶν δικαίων πληθὺς ἡ ἅπασα, ταξιαρχίαι νόων οὐράνιαι, σὺν τῇ Θεόπαιδι, Μαριάμ, πρεσβεύσατε τῷ Ἰησοῦ, πυρὸς αἰωνίζοντος, ἡμᾶς ἐκφεύξασθαι.